σαν ὅτι ʽὁ Αἴαςʼ ἢ ʽὁ Μενέλαοςʼ. οἱ δὲ φιλόσοφοι τὴν ψυχὴν τὸν ἄνθρωπον λέγουσιν. ἰστέον οὖν ὅτι εἰσάγουσι πρόσωπα διαλεγόμενα καὶ ἐξ ὧν φθέγγονται τὰς ζωὰς αὐτῶν χαρακτηρίζουσιν· οἷον ὁ Καλλικλῆς φιληδονικοὺς λόγους καταβάλλεται, οὐκοῦν ζωὴν ἔχει τὸ φιλήδονον πάθος· ἀγωνίζεται τοίνυν καὶ ἐκκόπτει τοὺς τοιούτους λόγους. δεῖ γὰρ εἰδέναι ὅτι τὰ ἠθικὰ παραγγέλματα ὀρθοδοξαστικά εἰσι, τὸ λέγειν ʽἔθιζε σαυτὸν κρατεῖν θυμοῦʼ καὶ ʽγονεῖς τίμαʼ· οὐ τούτοις οὖν ἐπαναπαύονται οἱ φιλόσοφοι, ἀλλὰ ταῖς ἀποδείξεσιν· ὁ οὖν Σωκράτης τὰ ῥήματα κρατύνει τά τε τοῦ Καλλικλέους ὑπὲρ τοῦ φιληδόνου καὶ τὰ τοῦ Θρασυμάχου ὑπὲρ τῆς ἀναιδείας καὶ τὰ τῶν ἄλλων, καὶ οὕτως λοιπὸν ἐλέγχει ταῦτα, ἵνα μὴ ἐρήμη ἡ νίκη γένηται.

Καὶ ταῦτα μὲν οὕτως εἰρήσθω. μετὰ δὲ τὸ ἐπιδείξασθαι | 2
τὸν Γοργίαν παραγίνεται ὁ Σωκράτης· ἐνταῦθα οὖν κατὰ *8*
τὸ προοίμιον τὰ πρόσωπά ἐστιν ταῦτα, Σωκράτης Χαιρεφῶν Καλλικλῆς. προλογίζει δὲ ὁ Καλλικλῆς καὶ λέγει τῷ Σωκράτει ὅτι ʽὄντος πολέμου καὶ μάχης ἐπικειμένης ἔδει σε ὑστερῆσαι· ἐν γὰρ τοῖς τοιούτοις ἀπολιμπάνεσθαι καλόνʼ (ἵνα μὴ ὡς εἰκὸς κατὰ τὸν πόλεμον προλαμβάνων εὑρεθείη πάσχων)· ʽνῦν δὲ ἐπιδείξεως οὔσης πῶς ὑστέρησας;ʼ ἐπιπλήττει οὖν καὶ ἐγκαλεῖ τῷ Σωκράτει μὴ εἰδὼς μήτε τὰ ἑαυτοῦ μέτρα μήτε τὰ τοῦ φιλοσόφου ἐπαναβεβηκότα. ὅρα τοίνυν πῶς ἐκ τῶν λόγων αὐτοῦ ἀναφαίνεται ἡ ζωὴ ἡ φιλήδονος· φησὶν γὰρ ὅτι ʽεἰ ἦν πόλεμος, ἔδει σε ὑστερῆσαι, ἵνα μὴ φονευθῇςʼ. τοῦτο δὲ φιλοσωμάτου ψυχῆς ἴδιον καὶ οὐδὲν ἐχούσης ἀνδρεῖον μηδὲ πρὸς ἀρετὴν ὁρώσης. μάλιστα γὰρ οὐκ ἔδει ἐν πολέμῳ ὑστερῆσαι, τοῦτο γὰρ ʽφυγοπτολέμουʼ κατὰ τὴν ποίησιν καὶ ʽἀνάλκιδοςʼ ἔργον· ὡς οὖν φιλοσώματος προφέρει τὸν λόγον. ἐπεὶ οὖν μετὰ τὸ ἐπιδείξασθαι τὸν Γοργίαν, εἴτε ἐν τῷ οἴκῳ τοῦ Καλλικλέους εἴτε καὶ δημοσίᾳ, ἦλθεν ὁ Σωκρά-